eul_wid: bhm-ab

Ἐπίχαρμος ὁ Συρακόσιος · Epicharmus of Syracuse

# Fragments of Pseudepicharmea

*Ψευδεπιχάρμου Ἀποσπάσματα*

**Period:** *Ἀρχαϊκή* Archaic
**Dialect:** *Δωρική* Doric
**Domain:** *Κωμῳδία* Comedy
**Format:** *Συναγωγή* Collection

86-91 tit Pseudepicharmea

86 τεῖδ’ ἔνεστι πολλὰ καὶ παν[τ]οῖα, τοῖς χρήσαιό κα ποτὶ φίλον, ποτ’ ἐχθρόν, ἐν δίκαι λέγων, ἐν ἁλίαι, ποτὶ πονηρόν, ποτὶ καλόν τε κἀγαθόν, ποτὶ ξένον, ποτὶ δύσηριν, ποτὶ πάροινον, ποτὶ βάναυσον, αἴτε τις ἄλλ’ ἔχει κακόν τι, καὶ τούτοισι κέντρα τεῖδ’ ἔνο. ἐν δὲ καὶ γνῶμαι σοφαὶ τεῖδ’, αἷσιν α[ἰ] πίθοιτό τις, δεξιώτερός τε κ’ εἴη βελτίων τ’ ἐς πά[ν]τ’ ἀνήρ. κο]ὔτι πολλὰ δεῖ λέγ[ε]ιν, ἀλλ’ ἓμ μόνον [τ]ούτων ἔπος ποττὸ πρᾶγμα ποτιφέροντα τῶνδ’ ἀε[ὶ] τὸ συμφέρον. αἰτίαν γὰρ ἦχον ὡς ἄλλως μὲν εἴην [δ]εξιός, μακρολόγος δὲ κοὐ δυναίμαν ἐμ β[ρ]αχεῖ γνώμα[ς λέγ]ειν. ταῦτα δὴ ’γὼν εἰσακούσας συντίθημι τὰν Τέχναν τάνδ’, ὅ[π]ως εἴπηι τις· ‘‘Ἐπίχαρμος σοφός τις ἐγένετο, πολλὰ δ’ εἶ]π’ ἀστεῖα καὶ παντοῖα καθ’ ἓν [ἔπος] λέγων πεῖραν] αὐταυτοῦ διδοὺς ὡς καὶ β[ραχ ....... ]ε μαθὼν ἅπας ἀνὴρ φαν[ήσεται σοφός ...... ] . ήσει ποτ’ οὐδὲν ἔπος απ[ ........ ]οντα λυπήσει τι τῶνδ[ ........ ]τρ[ .. ]α δρῶντα τοῖσδ[ ............ ]ορητε πολυμαθη[ ....... ]ων[ .. ]ρτ[ .. ]ἐρῶ δὲ καὶ τ[ ..... ]ιτε τούτοις γα κακα[ ... ]χειν[ ἄλλος ἄ]λλωι γὰρ [γ]έγαθε κοὔτι ταυ[ ........ ]ε πάντα δεῖ τάδ’ ὡς ε[ ........ ἔ]πειτα δ’ ἐν καιρῶι λε[ .............. ]ειμα βραχυσοι[ — — — — — — — — — — — — —

87 — — — — — — — — — — ...... ]στι πρὸς το[ ....... ]ω δυστει[ ... ]ι[ .... ]εστι χρηστ[ . ] . [ .. ]ευ[ ἐνικαλύπτεται τὸ φαῦλον[ εἰς τὸ συντυχεῖν ἀηδής ἐστιν ο[ ευτροπος ἀνθρώποισι δαίμων π[ .... ] . οι καὶ ὀρθῶς βραβεῦσαι διανε[ .... ]νους ἐξηπάτηκεν ἄδικος οι[ .... ] .. εσις πονηρὰ περὶ πονηρῶ[ν πραγμάτων ....... ] .. [ .. ] .. [ . ]νις ἔτι ν[ ... ]ιπ . [ ............. ] . π[ο]νηραυδ[ — — — — — — — — — — — ]υλα[ ] . επι[ ]θεραπ[ ]νοστεν[ ]ιδεσενπ[ ] . εσστι[ — — — — — — — — ]ην ]ος ]ν ] — — — — — σπ[ ‵ — ′ου[ ‵ — ′φα[ ‵ — ′σφ[ ‵ — ′εα[ — — — — — — — — — ]ι ποιεῖθ’ αὑτῶι φ . [ ]εν δὲ τοῖς φαυλ[ ] . ς χορός ἐστι τα . [ ]ται πᾶσιν ις[ ]ις ὁ πόλεμος ..... [ ]τον πόλεσι κευρε[ ] . ιν σουτι ..... [ ]ι . αιφ .... ρουο . [ ] . νεις φόβον . [ ] . [ — — — — — — ]απος[ ]λιπα[ ] . α . [ .. ] . α .. αιμ .. [ ] . κτημ ... ] . εστατει ]ς βαθύς μ’ ὁρῶ — — — — — — — — — ]α[ ]ινεμπ[ ] .. [ — — —

88 ὥς τ’ ἐμὶν δοκ[εῖ ἀλλ’ ἁπλῶς τ[

89 (tit) ΕΠΙΧΑΡΜΟΥ ‵ — ′ ]τις δυστυχῶν βίον τ’ ἔχων ] . τε κἀγαθὸν ψυχᾶι διδῶι ]ν οὔτι φάσω μακάριον μ]ᾶλλον χρημάτων ἄλλωι τε[λεῖν

90 (tit)

ΕΠ]ΙΧΑΡΜΟ[Υ τοὺς τρόπους χείρω γυναῖ]κά φαμ’ ἐγὼ τῶν θηρ[ίων εἶμεν. ὅστις γ]ὰρ λέοντι σῖτον ἢ ποτὸν φ[έρει ἢ κυσὶν Μολοσσικοῖς[ιν θ[ῆρε]ς αἰκάλλοντι το[ῖ]σι[ν εὖ ποιεῦσιν εὐμενεῖς. ἁ γυνὰ δὲ τὸν τρέφοντα [πρᾶτον εἴθισται δακεῖν. ‵ — ′

91a ταλεας γάρ ἐσθ’ ὁ φρόνιμος· ὡς δὲ τοῦθ’ οὕτως ἔχει, χῶρος οἰκία τυραννὶς πλοῦτος ἰσχὺς καλλονὰ ἄφρονος ἀνθρώπου τυχόντα καταγέλαστα γίνεται.

91b ‵ — ′ἁδοναὶ δ’ εἰσὶν βροτοῖσιν ἀνόσιοι λαιστήριοι· καταπεπόντισται γὰρ εὐθὺς ἁδοναῖς ἀνὴρ ἁλούς. ‵ — ′